A τοῦτο γὰρ λαβεῖν μὲν ἀναγκαῖον, οὐ ῥᾴδιον δέ. 18 Φαίνεται δὲ τὰ πλεῖστα οὐδὲν αὐτὰ σώματος πάσχειν, οὐδὲ ποιεῖν, οἷον, ὀργίζεσθαι, θαρρεῖν, ἐπιθυμεῖν, ὅλως αἰσθάνεσθαι. μάλιστα δ' ἔοικεν ἴδιον εἶναι τὸ νοεῖν. εἰ δὲ ἐστὶ καὶ τοῦτο φαντασία τις, ἢ μὴ ἄνευ φαντασίας, οὐκ ἂν οὐδὲ τοῦτο ἄνευ σώματος εἴη. 19 Εἰ μὲν οὖν ἔστί τι τῆς ψυχῆς ἔργον ἢ παθημάτων ἴδιον, ἐνδέχοιτ' ἂν αὐτὴν χωρίζεσθαι· εἰ δὲ μηδέν ἐστιν ἴδιον αὐτῆς, οὐκ ἂν εἴη χωριστή. B ἀλλὰ καθάπερ ἡ εὐθεῖα, ἡ διττεῖ, ἢ διττόν, πολλὰ συμβαίνει, οἷον, ἅπτεσθαι τῆς χαλκῆς σφαίρας κατὰ σημεῖον· οὐ μέντοι γε ἅψεταί γε τούτου χωριστὸν τὸ διττόν. ἀχώριστον γάρ, εἴπερ ἀεί μετὰ σώματός τινός ἐστιν. 20 Ἔοικε δὲ καὶ τὰ τῆς ψυχῆς πάθη πάντα εἶναι μετὰ σώματος, θυμός, πραότης, φόβος, ἔλεος, θάρσος, ἔτι χαρὰ, καὶ τὸ φιλεῖν τε καὶ μισεῖν· ἅμα γὰρ τούτοις πάσχει τι τὸ σῶμα. μαρτυρεῖ δ' ὅτι, ποτὲ μὲν ὑπὸ ἰσχυρῶν C καὶ ἐναργῶν παθημάτων συμβαινόντων μηδὲν παροξύνεσθαι, ἢ φοβεῖσθαι· ἐνίοτε δὲ καὶ ὑπὸ μικρῶν καὶ ἀμυδρῶν κινεῖσθαι, ὅταν ὀργᾷ τὸ σῶμα, καὶ οὕτως ἔχῃ, ὥσπερ ὅταν ὀργίζηται. ἔτι δὲ τοῦτο μᾶλλον φανερόν· μηδενὸς γὰρ φοβεροῦ συμβαίνοντος, ἂν τοῖς παθητικοῖς γίνηται τοῖς τοῦ φοβουμένου· εἰ δ' ὥσπερ ἔχει, δῆλον ὅτι καὶ τὰ πάθη λόγοι ἔνυλοί εἰσιν. 21 Ὥστε οἱ ὅροι τοιοῦτοι, οἷον τὸ ὀργίζεσθαι, κίνησίς τις τοῦ τοιουδὶ σώματος, ἢ μέρους, ἢ δυνάμεως ὑπὸ τοῦδε, καὶ ἕνεκα τοῦδε. 22 Καὶ διὰ ταῦτα ἤδη D φυσικοῦ τὸ θεωρῆσαι περὶ ψυχῆς, ἢ πάσης, ἢ τῆς τοιαύτης. 23 Διαφερόντως δ' ἂν ὁρίσαιτο ὁ φυσικὸς τὸν ἕκαστον αὐτῶν, οἷον ὀργή τί ἐστιν· ὁ μὲν γὰρ, ὄρεξιν ἀντιλυπήσεως, ἢ τοιοῦδε· ὁ δὲ, ζέσιν * περὶ καρδίαν αἵματος, ἢ θερμοῦ. τούτων δὲ ὁ μὲν τὸ ὕλῃ ἀπο- * γρ. τὸ περὶ καρδίαν αἷμα. δίδωσιν· ὁ δὲ, τὸ εἶδος, καὶ τὸν λόγον. ὁ μὲν γὰρ λόγος εἶδος τοῦ πράγματος. 24 Ἀνάγκη δ' εἶναι τοῦτον ἐν ὕλῃ τοιᾳδί, εἰ ἔσται· ὥσπερ οἰκίας, ὁ μὲν λόγος τοιοῦδε ἂν εἴη, ὅτι σκέπασμα κωλυτικὸν φθορᾶς ὑπ' ἀνέμων, καὶ ὄμβρων, καὶ καύματος· ὁ δὴ φήσει, λίθους, καὶ πλίνθους, καὶ ξύλα· ἕτερος δ', ἐν τούτοις τὸ εἶδος, ἕνεκα τῶνδε. E τίς οὖν ὁ φυσικὸς τούτων; πότερον ὁ περὶ τὴν ὕλην, τὸν δὲ λόγον ἀγνοῶν· ἢ ὁ περὶ τὸν λόγον μόνον, ἢ μᾶλλον ὁ ἐξ ἀμφοῖν; 25 Ἐκείνων δὲ, τίς ἑκάτερος; ἢ οὐκ ἔστι τις ὁ περὶ τὰ πάθη τὰ τῆς ὕλης τὰ μὴ χωριστὰ, μηδὲ ἢ χωριστά· ἀλλ' ὁ φυσικὸς περὶ ἅπαντ' ὅσα τοιοῦδε σώματος, καὶ τῆς τοιαύτης ὕλης ἔργα, καὶ πάθη.

ὁπόσα δὲ μὴ ἦ τοιαῦτα, ἄλλος· καὶ περί τινα μὲν τεχνίτης, ἐὰν τύχῃ, οἷον τέκτων, ἢ ἰατρός. τῶν δὲ μὴ χωριστῶν μὲν, ἦ δὲ μὴ τοιούτου σώματος πάθη καὶ ἐξ ἀφαιρέσεως, ὁ μαθηματικός· ἦ δὲ κεχωρισμένα, ὁ πρῶτος φιλόσοφος. 26 Ἀλλ' ἐπανιτέον ὅθεν ὁ λόγος. ἐλέγομεν δὲ ὅτι τὰ πάθη τῆς ψυχῆς ἀχώριστα τῆς φυσικῆς ὕλης τῶν ζώων, ἦ γε τοιαῦθ' ὑπάρχει, θυμὸς καὶ φόβος, καὶ οὐχ ὥσπερ γραμμὴ καὶ ἐπίπεδον.

A *In iis* verò quæ talia non sunt, alius. & in quibusdam quidem *versatur* artifex, si sors tulerit, vt faber, aut medicus. quæ verò non *sunt* quidem separabilia, quà tamen non eiusmodi corporis affectiones sunt, & ex abiunctione *spectantur*: in his versatur mathematicus. sed quà sunt separata, primus philosophus. 26 Sed *eò est* redeundum, vnde *digressa est* oratio. dicebamus autem affectiones animæ *esse* inseparabiles à naturali materia animalium, quatenus talia sunt ira ac metus, non vt linea & planum.

B

ΚΕΦΑΛ. β'.

Αἱ τῶν παλαιῶν δόξαι.

Ἐπισκοποῦντας δὲ περὶ ψυχῆς ἀναγκαῖον ἅμα διαπορεῖν περὶ ὧν εὐπορεῖν δεῖ, προελθόντας τὰς τῶν προτέρων δόξας συμπαραλαμβάνειν, ὅσοι τι περὶ αὐτῆς ἀπεφήναντο, ὅπως τὰ μὲν εἰρημένα καλῶς λάβωμεν. εἰ δὲ μή τι καλῶς, τοῦτ' εὐλαβηθῶμεν. 2 Ἀρχὴ δὲ τῆς ζητήσεως, προθέσθαι τὰ μάλιστα δοκοῦντ' ὑπάρχειν αὐτῇ κατὰ φύσιν. τὸ ἔμψυχον δὴ τοῦ ἀψύχου δυοῖν μάλιστα διαφέρειν δοκεῖ. κινήσει τε καὶ τῷ αἰσθάνεσθαι. παρειλήφαμεν δὲ καὶ παρὰ τῶν προγενεστέρων σχεδὸν δύο ταῦτα περὶ ψυχῆς. 3 Φασὶ γὰρ ἔνιοι, καὶ μάλιστα, καὶ πρώτως ψυχὴν εἶναι τὸ κινοῦν. οἰηθέντες δὲ τὸ μὴ κινούμενον αὐτὸ, μὴ ἐνδέχεσθαι κινεῖν ἕτερον, τῶν κινουμένων τι τὴν ψυχὴν οὕτως ὑπέλαβον εἶναι. 4 Ὅθεν Δημόκριτος μὲν πῦρ τι καὶ θερμόν φησιν αὐτὴν εἶναι. ἀπείρων γὰρ ὄντων σχημάτων, καὶ ἀτόμων, τὰ σφαιροειδῆ πῦρ καὶ ψυχὴν λέγει, οἷον ἐν τῷ ἀέρι τὰ καλούμενα ξύσματα, ἃ φαίνεται ἐν ταῖς διὰ τῶν θυρίδων ἀκτῖσιν, ὧν τὴν πανσπερμίαν, στοιχεῖα λέγει τῆς ὅλης φύσεως. ὁμοίως δὲ καὶ Λεύκιππος. 5 Τούτων δὲ τὰ σφαιροειδῆ [πῦρ καὶ] ψυχὴν, διὰ τὸ μάλιστα διὰ παντὸς δύνασθαι διαδύνειν τοὺς τοιούτους ῥυσμοὺς, καὶ κινεῖν τὰ λοιπὰ, κινούμενα καὶ αὐτὰ, ὑπολαμβάνοντες τὴν ψυχὴν εἶναι τὸ παρέχον τοῖς ζώοις τὴν κίνησιν. 6 Διὸ καὶ τοῦ ζῆν ὅρον εἶναι τὴν ἀναπνοήν· σύναγοντος γὰρ τοῦ περιέχοντος τὰ σώματα, καὶ ἐκθλίβοντος τῶν σχημάτων τὰ παρέχοντα τοῖς ζώοις τὴν κίνησιν, διὰ τὸ μηδ' αὐτὰ ἠρεμοῖν μηδέ ποτε, βοήθειαν γίγνεσθαι θύραθεν, ἐπεισιόντων ἄλλων τοιούτων ἐν τῷ ἀναπνεῖν· κωλύειν γὰρ ταῦτα, καὶ τὰ ἐνυπάρχοντα ἐν τοῖς ζώοις ἐκκρίνεσθαι, σύναναείργοντα τὸ σύναγον καὶ πηγνύον. καὶ ζῆν δὲ ἕως ἂν δύνωνται τοῦτο ποιεῖν. 7 Ἔοικε δὲ καὶ τὸ παρὰ τῶν Πυθαγορείων λεγόμενον,

CAPVT II.

Veterum opiniones de anima.

Considerantes autem de anima, necesse *est*, vt dubitantes de iis quæ, cùm progressi erimus, in promptu nobis esse oportet, simul antiquorum opiniones comprehendamus, quicumque aliquid de ea pronuntiarunt: vt ea, quæ scitè dicta sunt, sumamus: si quid verò inscitè, id vitemus. 2 Principium verò inquisitionis *erit, ea* priùs ponere, quæ maximè videntur ipsi inesse secundùm naturam. Animatum igitur ab inanimato duobus maximè differre videtur, motu & sensu. ferè autem à maioribus quoque accepimus duo hæc de anima. 3 Aiunt enim quidam, & maximè & primùm animam esse id quod mouet. putantes autem, id, quod non mouetur, non posse mouere alterum; ita existimarunt animam esse aliquid eorum quæ mouentur. 4 Vnde inquit Democritus eam esse ignem quendam & calorem. cùm enim infinitæ sint figuræ & atomi: eas, quę sunt rotundæ, ignem & animam *esse* dicit. cuiusmodi *sunt* in aëre, quæ vocantur ramenta, quæ cernuntur in radiis per fenestras *immissis*: quorum farraginem dicit *esse* elementa totius naturæ. Similiter etiam Leucippus *statuit*. 5 Harum autem eas quæ *sunt* rotundæ, *esse* animam: quoniam huiusmodi figuræ maximè possunt per vniuersum permeare, & reliqua mouere, cùm & ipsæ moueantur. *Sic ergo dixerunt Democritus & Leucippus*, existimantes, animam esse quod præbet animalibus motum. 6 Idcirco & viuendi terminum esse respirationem. cùm enim id quod ambit, corpora comprimat, atque eas figuras elidat, quæ præbent animalibus motum, eo quòd ipsa numquam quiescunt; opem ferri, extrinsecus ingredientibus eiusmodi aliis, dum respiratur: hæc enim prohibere, quominus etiam ea quæ in animalibus insunt, excernantur, vnà propulsantia quod comprimit & coërcet. viuere autem *animalia*, quandiu possunt hoc facere. 7 Videtur autem, & quod à Pithagoreis dicitur,

C

D

E

eandem habere ſententiam. quidam enim eorum dicebant animam eſſe ramenta illa, quæ *ſunt* in aëre. alij verò, id quod hæc mouet. ac de his dictum eſt: quia videntur continenter moueri, etiam ſi ſit ſumma tranquillitas. 8. Eôdem feruntur etiam, quicumque dicunt animam *eſſe* id quod ſeipſum mouet. nam omnes hi videntur exiſtimaſſe, motum maximè proprium eſſe animæ, & cætera quidem omnia per animam moueri, ipſam verò à ſemetipſa: quia nihil videbant mouere, quod non & ipſum moueatur. 9 Similiter etiam Anaxagoras animam eſſe inquit eam quæ mouet: ac ſi quis alius dixit, mentem vniuerſum mouiſſe. 10 Non tamen omnino vt Democritus. is enim *aſſeruit* ſimpliciter idem *eſſe* animam & mentem. verè enim eſſe, quod videtur. Idcirco ſcitè ceciniſſe Homerum, quòd Hector iaceret inops mentis. Non ergo vtitur mente, vt facultate quadam, quæ circa veritatem *verſetur*: ſed idem *eſſe* ait animam & mentem. Anaxagoras verò minùs dilucidè de his diſſerit. ſæpe enim dicit mentem *eſſe* cauſam eius quod ſcitè & rectè *ſe habet*. alibi vero *inquit* idem eſſe mentem & animam: in omnibus namque eam ineſſe animalibus, tam magnis quàm paruis, tam honeſtioribus quàm vilioribus. Sed non videtur mens, quæ ſecundùm prudentiam dicitur, æquè cunctis ineſſe animalibus, immo ne quidem cunctis hominibus. 11 Quicumque igitur ad motum animati reſpexerunt, hi exiſtimarunt animam *eſſe* id quod maximè mouendi vim habet. 12 Quicumque autem ad cognitionem & ſenſum eorum quæ ſunt, hi dicunt animam *eſſe* principia, alij plura principia facientes, alij vnum hoc. 13 Vt Empedocles ex elementis omnibus; eſſe autem vnumquodque horum animam, ſic inquiens.

Nam terra quidem terram videmus: aqua verò aquam:
Æthere autem æthera diuinum: ſed igne ignem exitioſum:
Amore autem amorem: & contentionem, contentione triſti.

14 Eodem modo etiam Plato in Timæo animam ex elementis efficit. ſimile enim ſimili cognoſci, ac res ex principiis eſſe. 15 Similiter etiam in iis quæ de Philoſophia dicuntur, definitum eſt, ipſum quidem animal ex vnius idea & prima longitudine & latitudine & altitudine, cætera vero ſimili modo. 16 Præterea etiam aliter, intellectum quidem *eſſe* vnum: ſcientiam verò, duo: (vno enim modo *eſt* ad vnum)

A τῷ αὐτῷ ἔχειν ἀφῄνοιδν. ἔφασδν γάρ τινες αὐτῶν, ψυχὴν εἶναι τὰ ἐν τῷ ἀέρι ξύσματα· οἱ δέ, τὸ ταῦτα κινοῦν. περὶ δὲ τούτων εἴρηται, διότι συνεχῶς φαίνεται [ταῦτα] κινούμενα, κἂν ἡ γαλήνη πανταπασι. 8 Ἐπὶ ταὐτὸ δὲ φέρονται καὶ ὅσοι λέγουσι τὴν ψυχὴν B αὐτὸ κινεῖν· ἔοικασι γὰρ οὗτοι πάντες ὑπειληφέναι τὴν κίνησιν οἰκειοτάτην εἶναι τῇ ψυχῇ· καὶ τὰ μὲν ἄλλα πάντα κινεῖσθαι διὰ τὴν ψυχήν, ταύτην δ' ὑφ' ἑαυτῆς, διὰ τὸ μηδὲν ὁρᾶν κινοῦν, ὃ μὴ καὶ αὐτὸ κινεῖται. 9. Ὁμοίως δὲ καὶ Ἀναξαγόρας ψυχὴν εἶναί φησι τὴν κινοῦσαν, καὶ εἴ τις ἄλλος εἴρηκεν, ὡς ὁ πᾶν ἐκίνησε νοῦς. 10 Οὐ μὴν πάντως γε, ὥσπερ Δημόκριτος. ἐκεῖνος μὲν γὰρ ἁπλῶς ταὐτὸν τὴν ψυχὴν καὶ τὸν νοῦν· τὸ γὰρ ἀληθῶς εἶναι τὸ φαινόμενον. διὸ καλῶς ποιῆσαι τὸν Ὅμηρον, ὡς Ἕκτωρ κεῖτ' ἄλλοφρονέων. οὐ δεῖ χρῆσθαι τῷ νῷ, ὡς δυναμένῳ τινὶ περὶ τὴν ἀλήθειαν· ἀλλὰ ταὐτὸ λέγει ψυχὴν καὶ νοῦν. Ἀναξαγόρας C δὲ, ἧττον ἀφωσαφῆ περὶ αὐτῶν· πολλαχοῦ μὲν γὰρ τὸ αἴτιον τοῦ καλῶς καὶ ὀρθῶς, τὸν νοῦν λέγει· ἑτέρωθι δ', τὸν νοῦν εἶναι τὸν αὐτὸν τῇ ψυχῇ· ἐν ἅπασι γὰρ ὑπάρχειν αὐτὸν τοῖς ζώοις, καὶ μεγάλοις, καὶ μικροῖς, καὶ τιμίοις καὶ ἀτιμοτέροις. οὐ φαίνεται δὲ ὁ γε περὶ φρόνησιν λεγόμενος νοῦς πᾶσιν ὁμοίως ὑπάρχειν τοῖς ζώοις, ἀλλ' οὐδὲ τοῖς ἀνθρώποις πᾶσιν. 11. Ὅσοι μὲν οὖν ὅτι τὸ κινεῖσθαι τὸ ἔμψυχον ἀπέβλεψαν, οὗτοι τὸ κινητικώτατον ὑπέλαβον τὴν ψυχήν. 12 Ὅσοι δὲ ὅτι τὸ γινώσκειν, καὶ τὸ αἰσθάνεσθαι τῶν ὄντων, οὗτοι δὴ λέγουσι τὰς ἀρχάς· οἱ μὲν πλείους ποιοῦντες τὰς ἀρχάς, οἱ δὲ μίαν ταύτην. 13 Ὥσπερ Ἐμπεδοκλῆς μὲν ἐκ τῶν στοιχείων πάντων· εἶναι δὲ καὶ ἕκαστον ψυχὴν τούτων, οὕτω λέγων,

Γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ,
Αἰθέρι δ' αἰθέρα δῖον, ἀπὰρ πυρὶ πῦρ ἀίδηλον,
Στοργῇ δὲ στοργήν, νεῖκος δέ τε νείκεϊ λυγρῷ.

E 14 Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐν τῷ Τιμαίῳ Πλάτων τὴν ψυχὴν ἐκ τῶν στοιχείων ποιεῖ· γινώσκεσθαι γὰρ ὁμοίῳ ὅμοιον· τὰ δὲ πράγματα ἐκ τῶν ἀρχῶν εἶναι. 15 Ὁμοίως δὲ καὶ ἐν * τοῖς περὶ φιλοσοφίας λεγομένοις διωρίσθη, αὐτὸ μὲν τὸ ζῷον ἐκ τῆς τοῦ ἑνὸς ἰδέας, καὶ τοῦ πρώτου μήκους, καὶ πλάτους, καὶ βάθους· τὰ δὲ ἄλλα ὁμοιοτρόπως. 16. Ἔτι δὲ καὶ ἄλλως, νοῦν μὲν τὸ ἕν, ἐπιστήμην δὲ τὰ δύο· μοναχῶς γὰρ ἐφ' ἑνός.

* γρ. τ. π. φιλοσοφίας λόγοις ἀ.

τὸν δὲ τῦ ἐπιπέδου ἀριθμὸν, δόξαν· αἰσθησιν δὴ, τὸν τῦ στερεοῦ· οἱ μὲν γὰρ ἀριθμοὶ, τὰ εἴδη αὐτὰ καὶ ἀρχαὶ τῶν ὄντων ἐλέγοντο· εἶσι δὲ ἐκ τῶν στοιχείων. κρίνεται δὲ τὰ πράγματα, τὰ μὲν νῷ, τὰ δὲ ἐπιστήμῃ, τὰ δὲ δόξῃ, τὰ δὲ αἰσθήσει· * εἴδη δ' οἱ ἀριθμοὶ οὗτοι τῶν πραγμάτων. 17 Ἐπεὶ δὲ καὶ κινητικὸν ἔδοκει * ψυχῇ εἶ) καὶ γνωστικὸν, οὕτως ἔνιοι συνέπλεξαν ἐξ ἀμφοῖν, ἀποφηνάμενοι τὴν ψυχὴν ἀριθμὸν κινοῦν' ἑαυτόν. 18 Διαφέρονται δὲ περὶ τῶν ἀρχῶν, τίνες καὶ πόσαι· μάλιστα μὲν οἱ σωματικὰς ποιοῦντες τοῖς * ἀσωμάτοις· τούτοις δὲ οἱ μίξαντες καὶ ἀπ' ἀμφοῖν τὰς ἀρχὰς ἀποφηνάμενοι. διαφέρονται δὲ καὶ * περὶ τὸ πλῆθος. οἱ μὲν γὰρ μίαν, οἱ δὲ πλείους λέγουσιν. ἐπομένως δὲ τούτοις καὶ τὴν ψυχὴν ἀποδιδόασι· τό, τε γὰρ κινητικὸν τῇ φύσει, τῶν πρώτων ὑπειλήφασιν, οὐκ ἀδόξως. 19 Ὅθεν ἔδοξέ τισι πῦρ εἶναι· καὶ γὰρ τοῦτο λεπτομερέστατόν τε, καὶ μάλιστα τῶν στοιχείων ἀσώματον. ἔτι δὲ κινεῖται τε καὶ κινεῖ τὰ ἄλλα πρώτως. 20 Δημόκριτος δὲ καὶ γλαφυρώτερος εἴρηκεν ἀποφηνάμενος, ὅτι ἡ τούτων ἑκάτερον· ψυχὴν μὲν γὰρ εἶναι τὸ αὐτὸ καὶ νοῦν. τοῦτο δὲ εἶναι ἐκ τῶν πρώτων καὶ ἀδιαιρέτων σωμάτων· κινητικὸν δὲ, διὰ μικρομέρειαν καὶ τὸ σχῆμα· τῶν δὲ σχημάτων εὐκινητότατον, τὸ σφαιροειδὲς λέγει· τοιοῦτον δ' εἶναι τόν τε νοῦν, καὶ τὸ πῦρ. 21 Ἀναξαγόρας δ' ἔοικε μὲν ἕτερον λέγειν ψυχήν τε καὶ νοῦν, ὥσπερ εἰρήμεθα πρότερον. χρῆται δ' ἀμφοῖν ὡς μιᾷ φύσει· πλὴν ἀρχήν γε τὸν νοῦν εἶναι μάλιστα πάντων. μόνον γοῦν φησιν αὐτὸν τῶν ὄντων ἀπλοῦν εἶναι, καὶ ἀμιγῆ τε καὶ καθαρόν. ἀπέδωκε δ' ἀμφω τὴν αὐτὴν ἀρχὴν, τό, τε γινώσκειν καὶ ὃ κινεῖ, λέγων νοῦν κινῆσαι τὸ πᾶν. 22 Ἔοικε δὲ καὶ Θαλῆς ἐξ ὧν ἀπομνημονεύουσι, κινητικήν τινα τὴν ψυχὴν ὑπολαμβάνειν, εἴπερ τὸν λίθον ἔφη ψυχὴν ἔχειν, ὅτι τὸν σίδηρον κινεῖ. 23 Διογένης δ' ὥσπερ καὶ ἕτεροί τινες, ἀέρα τῶν οἰηθέντων πρώτων λεπτομερέστατον εἶναι, καὶ ἀρχὴν· καὶ διὰ τοῦτο γινώσκειν τε καὶ κινεῖν τὴν ψυχὴν, ἢ μὲν πρώτον ἐστὶ, καὶ ἐκ τούτου τὰ λοιπὰ γινώσκειν· ἢ δὲ λεπτομερέστατον, κινητικὸν εἶναι. 24 Καὶ Ἡράκλειτος δὲ τὴν ἀρχὴν εἶναί φησι τὴν ψυχὴν, εἴπερ τὴν ἀναθυμίασιν, ἐξ ἧς τἆλλα συνίστησι· καὶ γὰρ ἀσωματώτατον δὴ καὶ ῥέον ἀεί·

A plani verò numerum *esse* opinionem; solidi vero *numerum esse* sensum. Numeri namque *esse* ipsæ formæ & principia entium dicebantur. constant autem ex principiis. ac res iudicantur partim intellectu, partim scientiâ, partim opinione, partim sensu. hi verò numeri sunt formæ rerum. 17 Quoniam autem anima videtur & habere vim mouendi, & cognoscendi: sic nonnulli coniunxerunt ex ambobus, pronuntiantes animam *esse* numerum qui B se ipsum mouet. 18 Dissentiunt autem de principiis, quænam, & quot *sint*: maximè quidem qui corporea faciunt, ab iis qui incorporea: & ab his *vtrisque* ij qui miscent, & ex ambobus principia statuunt. dissentiunt etiam de numero: alij namque vnum, alij plura *esse* dicunt. his verò consequenter etiam animam explicant. quod enim suâ naturâ habet vim mouendi, inter prima *esse collocandum* existimarunt, non sine ratione. 19 Vnde quibusdam videtur esse ignis. Etenim hic subtilissimis partibus constat, & C est elementorum maximè incorporeum. præterea, & mouetur & mouet alia primùm. 20 Democritus verò elegantiùs locutus est, explicans quamobrem *sit* horum vtrumque. animam enim & intellectum esse idem. hoc autem esse ex primis & indiuiduis corporibus, aptum autem ad mouendum propter exiguitatem partium & figuram. figurarum autem *eam* dicit *esse* maximè mobilem, quæ *est* rotunda: cuiusmodi esse *ait* mentem & ignem. 21 Anaxagoras verò videtur quidem diuersum statuere animam & mentem, vt & antea diximus: vtitur tamen vtrisque, quasi vnâ naturâ: præterquam quòd ponit mentem maximè omnium *esse* principium. nam inter ea quæ sunt, hanc solam ait esse simplicem, & non mixtam, & puram. tribuit autem vtraque eidem principio, cognitionem *scilicet*, ac motum, inquiens mentem mouisse vniuersum. 22 Videtur etiam Thales, ex iis quæ memorantur, existimare animam *esse* quiddam ad mouendum aptum: siquidem dixit lapidem illum habere animam, quia ferrum E mouet. 23 Diogenes autem, vt & alij nonnulli, *censuit esse* aërem, cùm putaret hunc esse omnium subtilissimum, & principium. ideóque animam cognoscere & mouere, quatenus est primum, & ex hoc reliqua cognoscere. quatenus autem subtilissimis partibus *constat*, esse ad mouendum aptum. 24 Sed & Heraclitus ait animam esse principium: siquidem *ait esse* exhalationem, ex qua reliqua constituit. *esse* enim rem maximè incorpoream, & semper fluentem.

quod autem mouetur, eo cognosci quòd mouetur: entia verò esse in motu, & is putauit, & *alij* multi. 25 Pariter ac hi, videtur Alcmæon existimasse de anima: inquit enim eam esse immortalem, quoniam assimilatur immortalibus: hoc autem ipsi inesse, vt *pote* ei quæ semper moueatur: moueri autem & diuina omnia continenter ac semper, Lunam, Solem, sidera, & cœlum totum. 26 Eorum verò, qui sunt magis importuni, etiam aquam nonnulli pronuntiarunt, vt Hippo. adducti autem videntur vt *id* crederent, ex genitura, quia omnium *genitura est* humida. nam & eos reprehendit, qui dicunt animam *esse* sanguinem, quia genitura non *est* sanguis, hanc verò esse primam animam. 27 Alij vero sanguinem, vt Critias, existimantes sentire maximè proprium *esse* animæ, hoc vero inesse propter sanguinis naturam. 28 Omnia namque elementa sortita sunt aliquem à quo eligerentur, excepta terra: sed hanc nemo statuit, nisi si quis dixit eam esse ex omnibus elementis, aut omnia *elementa*. 29 Iam verò omnes animam tribus (penè dixerim) definiunt, motu, sensu, & corporis vacuitate: quorum vnum quodque refertur ad principia. 30 Quapropter & hi qui cognitione eam definiunt, eam aut elementum, aut ex elementis faciunt, similia inter se loquentes, vno excepto. inquiunt enim, simile simili cognosci. cùm enim anima omnia cognoscat, eam constituunt ex omnibus principiis. 31 Quicumque igitur vnam aliquam causam & vnum elementum esse dicunt, *ij* etiam animam ponunt *esse* vnum: puta ignem, aut aërem. qui vero plura dicunt principia, etiam animam dicunt *esse* plura. 32 Solus Anaxagoras ait mentem esse passionis expertem, nec habere quicquam commune cum vlla alia re: Cùm autem talis sit, quomodo cognoscat, & quam ob causam, nec ille dixit, nec ex iis quæ dicta sunt, perspicuum est. 33. Quicumque vero contrarietates in principiis ponunt, etiam animam ex contrariis constituunt. alij autem alterum contrariorum *sumunt*, vt calidum, aut frigidum, aut aliquid aliud tale: ac similiter ponunt animam esse vnum quidpiam ex his. 34 Idcirco & nomina sequuntur: alij quidem dicentes animam vocari calidum: quia propterea etiam ζῇν, *idest*, *viuere*, est nominatum: alij vero *appellari* frigidum, propter respirationem, & refrigerationem. 35 Quæ igitur tradita sunt de anima, & quas ob causas ita dicunt, hæc sunt, *quæ exposuimus*.

A τὸ γὰρ κινούμενον κινουμένῳ * γινώσκεσθαι. ὲν κινήσει δ' εἶναι τὰ ὄντα, καὶ κεῖνος ᾠήθη καὶ οἱ πολλοί. 25 Παραπλησίως δὲ τούτοις καὶ Ἀλκμαίων ἔοικεν ὑπολαβεῖν περὶ ψυχῆς· φησὶ γὰρ αὐτὴν ἀθάνατον εἶναι, διὰ τὸ ἐοικέναι τοῖς ἀθανάτοις. τοῦτο δ' ὑπάρχειν αὐτῇ, ὡς ἀεὶ κινουμένῃ· κινεῖσθαι δὲ καὶ τὰ θεῖα ἅπαντα σῴως ἀεί, σελήνην, ἥλιον, οὐρανὸν ὅλον. 26 Τῶν δὲ φορτικωτέρων, καὶ ὕδωρ τινὲς ἀπεφήναντο, καθάπερ Ἵππων. πεισθῆναι δ' ἔοικασιν ἐκ τῆς γονῆς, ὅτι πάντων ὑγρὰ· καὶ γὰρ ἐλέγχει τοὺς αἷμα φάσκοντας τὴν ψυχήν, ὅτι ἡ γονὴ οὐκ αἷμα· ταύτην δ' εἶναι τὴν πρώτην ψυχήν. 27 Ἕτεροι δ' αἷμα, καθάπερ Κριτίας, τὸ αἰσθάνεσθαι τῆς ψυχῆς οἰκειότατον ὑπολαμβάνοντες, τοῦτο δὲ ὑπάρχειν διὰ τὴν τοῦ αἵματος φύσιν. 28 Πάντα γὰρ τὰ στοιχεῖα κρίναντι εἴληφε, πλὴν τῆς γῆς· ταύτην δ' οὐδεὶς ἀποπέφηνεν, πλὴν εἴ τις αὐτὴν εἶπεν ἐκ πάντων εἶναι τῶν στοιχείων, ἢ πάντα. 29 Οἱ δὲ πάντες τὴν ψυχὴν δύσιν, ὡς εἰπεῖν, κινήσει, αἰσθήσει, τῷ ἀσωμάτῳ· τούτων δὲ ἕκαστον * ἀνάγεται πρὸς τὰς ἀρχάς. 30 Διὸ καὶ οἱ τὴν γινώσκειν ὁρίζόμενοι αὐτὴν, ἢ στοιχεῖον, ἢ ἐκ τῶν στοιχείων ποιοῦσι, λέγοντες τοῦ ὁμοίου πρὸς ἄλληλοις, πλὴν ἑνός· φασὶ γὰρ γινώσκεσθαι καὶ τὸ ὅμοιον τῷ ὁμοίῳ· ὅπερ γὰρ ἡ ψυχὴ πάντα γινώσκει, συνίστασιν αὐτὴν ἐκ πάντων τῶν ἀρχῶν. 31 Ὅσοι μὲν οὖν μίαν τινὰ λέγουσιν αἰτίαν, καὶ στοιχεῖον ἕν, καὶ τὴν ψυχὴν ἓν τιθέασιν, οἷον πῦρ, ἢ ἀέρα· οἱ δὲ πλείω λέγοντες τὰς ἀρχάς, καὶ τὴν ψυχὴν πλείω λέγουσιν. 32 Ἀναξαγόρας δὲ μόνος ἀπαθῆ φησιν εἶναι τὸν νοῦν, καὶ κοινὸν οὐδὲν οὐδενὶ τῶν ἄλλων ἔχειν. τοιοῦτος δ' ὢν, πῶς γνωρίζει, καὶ διὰ τίν' αἰτίαν, οὔτε ἐκεῖνος εἴρηκεν, οὔτ' ἐκ τῶν εἰρημένων * συμφανές ἐστιν. 33 Ὅσοι δ' ἐναντιώσεις ποιοῦσιν ἐν ταῖς ἀρχαῖς, καὶ τὴν ψυχὴν ἐκ τῶν ἐναντίων συνίστασιν· οἱ δέ, θάτερον τῶν ἐναντίων, οἷον θερμὸν, ἢ ψυχρὸν, ἢ τι τοιοῦτον ἄλλο· καὶ τὴν ψυχὴν ὁμοίως ἕν τι τούτων εἶναι φάσιν. 34 Διὸ καὶ τοῖς ὀνόμασιν ἀκολουθοῦσιν, οἱ μὲν τὸ θερμὸν λέγοντες, ὅτι διὰ τοῦτο καὶ τὸ ζῆν ὀνόμασται· οἱ δὲ τὸ ψυχρὸν, διὰ τὴν ἀναπνοὴν καὶ τὴν καταψυξιν καλοῦσι ψυχήν. 35 Τὰ μὲν οὖν παραδεδομένα περὶ ψυχῆς, καὶ δι' ἃς αἰτίας λέγουσιν οὕτω, ταῦτά ἐστιν.

γρ. γινώσκειται.

γρ. αἰσθήσει τὰ

γρ. ἐμφανές.

A

ΚΕΦΑΛ. γ'.

Σκέψις πρὸς τοὺς τὴν ψυχὴν ἀφὴ τῆς κινήσεως ὁριζομένους.

Ἐπισκεπτέον δὲ πρῶτον μὲν περὶ κινήσεως. ἴσως γὰρ οὐ μόνον ψεῦδός ἐστι τὸ τὴν οὐσίαν αὐτῆς τοιαύτην εἶναι, οἵαν φασὶν οἱ λέγοντες εἶναι τὴν ψυχὴν τὸ κινοῦν αὑτό, ἢ δυνάμενον κινεῖν. ἀλλ' ἔν τι τῶν ἀδυνάτων, τὸ ὑπάρχειν αὐτῇ κίνησιν. 2 Ὅτι μὲν οὖν οὐκ ἀναγκαῖον τὸ κινοῦν καὶ αὐτὸ κινεῖσθαι, πρότερον εἴρηται. 3 Διχῶς δὲ κινουμένου παντός· ἢ γὰρ καθ' ἕτερον, ἢ καθ' αὑτό· καθ' ἕτερον δὲ λέγομεν, ὅσα κινεῖται τῷ ἐν κινουμένῳ εἶναι, οἷς πλωτῆρες· οὐ γὰρ ὁμοίως κινοῦνται τῷ πλοίῳ· τὸ μὲν γὰρ καθ' αὑτὸ κινεῖται, οἱ δὲ τῷ ἐν κινουμένῳ εἶναι. δῆλον δ' ὅτι τῶν μερίων· οἰκεία μὲν γάρ ἐστι κίνησις, ποδῶν βάσις· αὕτη δὲ καὶ ἀνθρώπων· οὐκ ὑπάρχει δὲ τοῖς πλωτῆρσι τότε· * διχῶς οὖν λεγομένου τοῦ κινεῖσθαι, νῦν ἐπισκοποῦμεν περὶ τῆς ψυχῆς, εἰ καθ' αὑτὴν κινεῖται, ἢ μετέχει κινήσεως. 4 Τεσσάρων δὲ κινήσεων οὐσῶν, φορᾶς, ἀλλοιώσεως, φθίσεως, αὐξήσεως, ἢ μία τούτων κινοῖτ' ἄν, ἢ πλείους, ἢ πάσας. Εἰ δὲ κινεῖται μὴ τῷ συμβεβηκέναι, φύσει ἂν ὑπάρχοι κίνησις αὐτῇ· εἰ δὲ τοῦτο, καὶ τόπος· πᾶσα γὰρ αἰ λεγθεῖσαι κινήσεις ἐν τόπῳ. 5 Εἰ δ' ἔστιν ἡ οὐσία τῆς ψυχῆς τὸ κινεῖν ἑαυτήν, οὐ τῷ συμβεβηκέναι, τὸ κινεῖσθαι αὐτὴν ὑπάρξει, ὥσπερ τῷ λευκῷ, ἢ τῷ τριπήχει. κινεῖται γὰρ ἐκεῖνα, ἀλλὰ τῷ συμβεβηκέναι. ᾧ γὰρ ὑπάρχουσιν, ἐκεῖνο κινεῖται τὸ σῶμα. διὸ καὶ οὐκ ἔστι τόπος αὐτῶν· ἡ δὲ ψυχὴ ἔσται, εἴπερ φύσει κινήσεως μετέχει. 6 Ἔτι δ', εἰ φύσει κινεῖται, κἂν βίᾳ κινηθείη· κἂν εἰ βίᾳ, καὶ φύσει. τὸν αὐτὸν δὲ τρόπον ἔχει καὶ περὶ ἠρεμίας· εἰς ὃ γὰρ κινεῖται φύσει, καὶ ἠρεμεῖ ἐν τούτῳ φύσει. ὁμοίως δὲ καὶ εἰς ὃ κινεῖται βίᾳ, καὶ ἠρεμεῖ ἐν τούτῳ βίᾳ. ποίαι δὲ βίαιοι τῆς ψυχῆς κινήσεις ἔσονται καὶ ἠρεμίαι, σαφὲς πλάττειν βουλομένοις ῥᾴδιον ἀποδοῦναι. 7 Ἔτι δ', εἰ μὲν ἄνω κινήσεται, πῦρ ἔσται· εἰ δὲ κάτω, γῆ· τούτων γὰρ τὰ σώματα αἱ κινήσεις αὗται. ὁ δ' αὐτὸς λόγος καὶ περὶ τῶν μεταξύ. 8 Ἔτι δ', ἐπεὶ φαίνεται κινοῦσα τὸ σῶμα, ταύτας βούλεται κινεῖν τὰς κινήσεις ἃς καὶ αὐτὴ κινεῖται. Εἰ δὲ τοῦτο, καὶ ἀντιστρέφασιν εἰπεῖν ἀληθές, ὅτι ἐν τῷ σώματι κινεῖται, ταύτην καὶ αὐτή.

CAPVT III.

Disputatio contra eos qui animam per motum definiuerunt.

PRimùm autem considerandum *est* de motu. fortassis enim non solùm falsum est, essentiam eius talem esse, qualem asserunt, qui dicunt animam esse id quod se ipsum mouet, vel mouere potest: sed *est* vnum ex iis quæ fieri nequeunt, vt ei motus insit. 2 Non esse igitur necesse, vt id quod mouet, ipsum quoque moueatur, antea dictum fuit. 3. Cùm autem duobus modis moueatur quicquid *mouetur*: aut enim *mouetur* per alterum, aut per se: (per alterum autem *moueri* dicimus, quæcumque ideo mouentur, quia sunt in eo quod mouetur: vt nauigantes: non enim similiter mouentur ac nauis: quoniam hæc per se mouetur: illi verò, quia sunt in eo quod mouetur, *quod* quidem manifestum *est* in partibus: quandoquidem proprius motus pedum est incessus, atque hic *est* etiam hominum, sed tum temporis non adest nauigantibus:) cùm ergo duobus modis moueri dicatur, nunc de anima considerabimus, an per se moueatur, & particeps sit motus. 4 Cùm autem quatuor motus sint: latio, variatio, diminutio, accretio: certè aut vno horum mouebitur, aut pluribus, aut omnibus. Quòd si mouetur non ex accidenti, naturâ inerit ei motus: in hoc, etiam locus: omnes enim motus, qui dicti sunt, in loco *fiunt*. 5 Quòd si animæ essentia est mouere se ipsam: moueri, ei non inerit ex accidenti, vt albo, aut tricubito: mouentur enim hæc quoque, sed ex accidenti: quoniam id mouetur, cui insunt, *nempe* corpus. ideóque non est locus ipsorum. sed animæ *locus* erit, siquidem naturâ est motionis particeps. 6 Præterea si naturâ mouetur, etiam vi moueri poterit: & si vi, etiam naturâ. eodem modo *res* habet etiam de quiete. ad quod enim mouetur naturâ, etiam in eo quiescit naturâ. Similiter etiam ad quod mouetur vi, etiam in eo quiescit vi. quales autem erunt violenti animæ motus & quietes, ne quidem fingere volentibus facile *est* explicare. 7 Præterea si sursum mouebitur, ignis erit: si deorsum, terra. hi namque *sunt* horum corporum motus. Eadem ratio *est* etiam de *corporibus* interiectis. 8 Præterea quia videtur mouere corpus; rationi consentaneum *est*, eam mouere iisdem motibus quibus & ipsa mouetur. quod si ita *est*, etiam conuersione factâ verè dicetur, quo motu corpus mouetur, ipsam quoque moueri.

atqui corpus mouetur latione, quare etiam anima mutabitur, perinde atque corpus, ipsa quoque *hoc motu*, vel tota, vel secundùm partes translata. sed si fieri hoc potest, fieri etiam poterit, vt egressa ingrediatur rursus. cui consequens erit, vt animalia mortua resurgant. 9 Iam verò motu qui ex accidenti *fit*, etiam ab altero moueri posset: vi namque impelli potest animal. sed non oportet, vt in cuius essentia *est* moueri à seipso, id ab alio moueatur, præterquam ex accidenti: sicuti neque quod *est* bonum per se, aut propter se, id est bonum propter aliud, vel alterius gratia. animam verò maximè dicere aliquis possit à sensibilibus moueri, si quidem mouetur. 10 At verò si ipsa semet ipsam mouet, etiam ipsa mouebitur. quare si omnis motus est recessus eius quod mouetur, quatenus mouetur: etiam anima recedet à *sua* essentia, si non ex accidenti seipsam mouet, sed est motus ipsius essentiæ per se. 11 Quidam verò aiunt etiam animam mouere corpus in quo est, sicut ipsa mouetur: vt Democritus, qui similiter loquitur ac Philippus comicus: inquit enim, Dædalum fecisse ligneam illam Venerem, quæ moueretur, infuso argento fusili. similiter autem & Democritus asserit: nam dicit indiuiduos orbes, dum mouentur, eo quòd sunt eâ naturâ præditi vt numquam consistant, simul trahere ac mouere corpus vniuersum. Nos autem rogabimus, an hoc ipsum etiam quiescere faciet. sed quomodo hoc faciet, difficile *est*, aut etiam impossibile dictu. & omninò anima non ita videtur mouere animal, sed ex prælectione quadam & intellectione. 12 Eodem modo etiam Timæus de natura disserens, inquit animam mouere corpus: eò namque quòd ipsa moueatur, mouere etiam corpus, quia cum ipso est connexa: constantem enim ex elementis, ac distinctam secundùm numeros harmonicos, vt sensum & insitum concentum habeat, & vniuersum feratur consonis lationibus, rectitudinem in circulum flexit; ac diuisione vnius circuli facta in duos circulos bifariam coniunctos, rursus vnum diuisit in septem circulos; tanquam animæ motus sint cœli lationes. 13 Primum igitur non rectè dicitur animam esse magnitudinem. constat enim *eum* vniuersi animam talem esse velle, qualis est qui vocatur intellectus: non enim qualis *est anima* sensitiua, nec qualis *est* concupiscitiua: quoniam harum motus non *est* conuersio. 14 Intellectus verò *est* vnus & continuus, quemadmodum & intellectio:

A τὸ δὲ σῶμα κινεῖται φορᾷ· ὥστε καὶ ἡ ψυχὴ μεταβάλλοι ἂν κατὰ τόπον τὸ σῶμα ἐν αὐτῷ, ἢ ὅλη, ἢ κατὰ μέρια μεθισταμένη. εἰ δὲ τοῦτο ἐνδέχεται, καὶ ἐξελθοῦσαν εἰσιέναι πάλιν ἐνδέχοιτ' ἄν· οὕτω δ' ἔποιτ' ἂν τὸ ἀνίστασθαι τὰ τεθνεῶτα τῶν ζώων. 9 Τῷ δὲ κατὰ συμβεβηκὸς κινεῖσθαι, καὶ ὑφ' ἑτέρου κινοῖτο· ὑπάρχει γὰρ αὐτῷ βίᾳ B ζῶον. οὐ δεῖ δὲ ᾧ τὸ ὑφ' ἑαυτοῦ κινεῖσθαι ἐν τῇ οὐσίᾳ, τοῦτο καὶ ὑπ' ἄλλου κινεῖσθαι, πλὴν εἰ μὴ κατὰ συμβεβηκός· ὥσπερ οὐδὲ τὸ καθ' αὑτὸ ἀγαθὸν, ἢ δι' αὐτό, τὸ μὴ δι' ἄλλο ἐστί, τὸ δὲ ἑτέρου ἕνεκα. τὸ δὲ ψυχὴν μάλιστα φαίη τις ἂν εἶναι τῶν ἀϊδίων κινήσεων, ἕκαστον κινεῖται. 10 Ἀλλὰ μὴν καὶ εἰ κινεῖ γε αὑτὴ ἑαυτήν, καὶ αὐτὴ κινοῖτ' ἄν· ὥστε εἰ πᾶσα κίνησις ἔκστασίς ἐστι τοῦ κινουμένου ἧ κινεῖται, καὶ ἡ ψυχὴ ἐξίσταιτο ἂν ἐκ τῆς οὐσίας, εἰ μὴ κατὰ συμβεβηκὸς αὐτὴν κινεῖ. ἀλλ' ἔστιν ἡ κίνησις τῆς οὐσίας αὐτῆς καθ' αὐτήν. 11 Ἔνιοι δὲ καὶ κινεῖν φασι τὴν ψυχὴν τὸ σῶμα ἐν ᾧ ἐστιν, ὡς αὐτὴ κινεῖται· οἷον Δημόκριτος C ὡδὶ σχεδὸν πλησίως λέγων Φιλίππῳ τῷ * κωμῳδοποιῷ δοκάλῳ. φησὶ γὰρ τὸν Δαίδαλον κινοῦντα ποιῆσαι τὴν ξυλίνην Ἀφροδίτην, ἐγχέαντα ἄργυρον χυτόν. ὁμοίως δὲ καὶ Δημόκριτος λέγει· κινοῦνται γάρ φησι τοὺς ἀδιαιρέτους σφαίρους, διὰ τὸ πεφυκέναι μηδέποτε μένειν, σύρειν φέλκειν τε καὶ κινεῖν τὸ σῶμα πᾶν· ἡμεῖς δ' ἐρωτήσομεν, εἰ καὶ ἠρεμήσαν ποιεῖ τοῦτ' αὐτό. πῶς δὲ ποιήσει τοῦτο, χαλεπὸν, ἢ καὶ ἀδύνατον εἰπεῖν. ὅλως δ' οὐκ οὕτω φαίνεται κινεῖν ἡ ψυχὴ τὸ ζῶον· D ἀλλὰ διὰ προαιρέσεώς τινος καὶ νοήσεως. 12 Τὸν αὐτὸν δὲ τρόπον καὶ ὁ Τίμαιος φυσιολογεῖ τὴν ψυχὴν κινεῖν τὸ σῶμα· τῷ γὰρ κινεῖσθαι αὐτὴν, καὶ τὸ σῶμα κινεῖν, διὰ τὸ συμπεπλέχθαι πρὸς αὐτό. σύνεσταμένην γὰρ ἐκ τῶν στοιχείων, καὶ μεμερισμένην κατὰ τοὺς ἁρμονικοὺς ἀριθμοὺς, ὅπως αἴσθησίν τε σύμφυτον ἁρμονίαν ἔχῃ, καὶ τὸ πᾶν φέρηται συμφώνοις φοραῖς, τὴν εὐθυωρίαν εἰς κύκλον κατέκαμψε· καὶ διελὼν ἐκ τοῦ ἑνὸς κύκλου E δύο κύκλους διαταχῇ σύνημμένους, πάλιν τὸν ἕνα διεῖλεν εἰς ἑπτὰ κύκλους, ὡς οὔσας τὰς τοῦ οὐρανοῦ φοράς, τὰς τῆς ψυχῆς κινήσεις. 13 Πρῶτον μὲν οὖν, οὐ καλῶς τὸ λέγειν τὴν ψυχὴν μέγεθος εἶναι. τὴν γὰρ τοῦ πάντος, δῆλον ὅτι τοιαύτην εἶναι βούλεται, οἵα ποτ' ἐστὶν ὁ καλούμενος νοῦς· οὐ γὰρ δὴ οἵαν γε τὴν αἰσθητικὴν, οὐδ' οἵαν τὴν ἐπιθυμητικήν· τούτων γὰρ ἡ κίνησις, οὐ κυκλοφορία. 14 Ὁ δὲ νοῦς ἓν καὶ συνεχὲς, ὥσπερ καὶ ἡ νόησις·

ἡ δὲ νόησις τὰ νοήματα· ταῦτα δὲ πῶς ἐφε A
ξῆς ἓν, ὡς ὁ ἀριθμός, ἀλλ' οὐχ ὡς τὸ μέγε-
θος. διὸ οὐδὲ νοῦς οὕτω συνεχής, ἀλλ' ἤτοι
ἀδιαίρετος ἢ οὐχ ὡς μέγεθός τι συνεχής. 15 Πῶς
γὰρ δὴ καὶ νοήσει μέγεθος * ὧν ὁτιοῦν τὴν μ
μεγέθους τὴν αὐτοῦ μοῖραν δέ, ἤτοι κατὰ μέγεθος,
ἢ κατὰ στιγμήν; εἰ δεῖ καὶ τοῦτο μόριον εἰπεῖν,
εἰ μὴν οὕτω κατὰ στιγμήν; αὖται δ' ἄπειροι,
ὥστε οὐδὲ ποτε διέξειμεν. Εἰ δὲ κατὰ μέ-
γεθος; πολλάκις ἢ ἀπείρακις νοήσει ὅ αὐτό.
φαίνεται δὲ καὶ ἅπαξ ἐνδεχόμενον. εἰ δ' ἱκα- B
γ. κυκλι- νὸν ἅπτεσθαι κατὰ μόριον, τί δεῖ * κύκλῳ
κοῖς
κινεῖσθαι, ἢ καὶ ὅλως μέγεθος ἔχειν; Εἰ δ'
ἀναγκαῖον νοῆσαι τὸ ἄλλῳ κύκλῳ ἁπτόμενον, τίς
ἐστιν ἡ τοῖς μορίοις ἁφή; 16 Εἰ δὲ πῶς νοή-
σει τὸ μέρος τοῦ ἀμερεῖ, καὶ τὸ ἀμερὲς μερικῷ;
ἀναγκαῖον ἢ τὸν νοοῦντα εἶναι τὸν κύκλον τοῦτον. νοῦς
γὰρ ὁ κινήσεως, νόησις κύκλου δὲ, περιφορά.
εἰ οὖν ἡ νόησις περιφορά, καὶ νοῦς ἂν εἴη
ὁ κύκλος, οὗ ἡ τοιαύτη περιφορὰ νόησις.
18 Αἰεὶ δὲ δή τι νοήσει· δεῖ γάρ, εἴπερ ἀΐ- C
διός ἡ περιφορά· τῶν μὲν γὰρ ποιητικῶν ἢ
πρακτικῶν νοήσεων, ἔστι πέρατα· πᾶσαι γὰρ
ἑτέρου χάριν· αἱ δὲ θεωρητικαὶ τοῖς λόγοις
ὁρίζονται. λόγος δὲ πᾶς, ἢ ὁρισμὸς,
ἢ ἀπόδειξις· αἱ μὲν ἀποδείξεις, ἐξ ἀρ-
χῆς, καὶ ἔχουσί πως τέλος τὸν συλλογισμὸν,
ἢ τὸ συμπέρασμα. Εἰ δὲ μὴ περαίνονται,
ἀλλ' εἰσὶν ἀνακάμπτουσί γε πάλιν ἐπ' ἀρ-
χήν. πορευόμεναι μὲν αἰεὶ μέσον, καὶ
ἄκρον, οὐ τελευτῶσιν. ἡ δὲ περιφορὰ πάλιν
ἐπ' ἀρχὴν ἀνακάμπτει· οἱ μὲν ὁρισμοὶ D
πόντες, πεπερασμένοι. 19 Ἔτι εἰ αὐτὴ
περιφορὰ πολλάκις, δεήσει πολλάκις νοεῖν τὸ
αὐτό. 20 Ἔτι δὲ καὶ ἡ νόησις ἔοικεν ἠρε-
μήσει τινὶ, καὶ ὑπισάσει μᾶλλον ἢ κινήσει.
τὸν αὐτὸν δὲ τρόπον καὶ ὁ συλλογισμός. 21 Ἀλ-
λὰ μὴν οὐδὲ μακάριόν γε τὸ μὴ ῥᾴδιον,
ἀλλὰ βίαιον. Εἰ δ' ἔστιν ἡ κίνησις αὐτῆς
μὴ οὐσία, παρὰ φύσιν κινοῖτο ἄν. 22 Ε-
πίπονον δὲ καὶ τὸ μεμίχθαι τῷ σώματι, μὴ E
διαλυθῆναι· καὶ ὥσπερ φθα-
κτὸν, εἶναι βέλτιον τῷ νῷ μὴ μετὰ σώμα-
τος εἶναι, καθάπερ εἴωθέ τε λέγεσθαι, καὶ
πολλοῖς δοκεῖ. 23 Ἄδηλος δὲ καὶ τῷ κύ-
κλῳ φέρεσθαι τὸν οὐρανόν· οὔτε γὰρ
τῆς ψυχῆς ἡ οὐσία, αἰτία τῷ κύκλῳ φέρεσθαι,
ἀλλὰ κατὰ συμβεβηκὸς οὕτω κινεῖται· οὔτε τὸ
σῶμα αἴτιον, ἀλλ' ἡ ψυχὴ μᾶλλον ἐκείνῳ.
24 Ἀλλὰ μὴν οὐδ' ὅτι βέλτιον λέγεται.

intellectio verò, *vt* intelligibilia. atqui A
hæc *sunt vnum*, quia deinceps *sunt*; vt
numerus, non vt magnitudo. quare nec
intellectus *est*, ita continuus: sed aut im-
partibilis, aut non vt magnitudo aliqua
continuus. 15 Nam quomodo, cùm sit
magnitudo, quáuis suarum partium intel-
liget, partium (inquam) aut secundùm
magnitudinem, aut secundùm punctum,
si *tamen* oportet etiam hoc appellare par-
tem? Ergo si secundùm punctum, hæc
verò *sunt* infinita; patet, eum numquàm
pertransiturum. sin autem secundùm ma- B
gnitudinem, sæpius vel infinities intelli-
get eandem rem: sed videtur & semel fie-
ri posse. Si verò sufficit tangere quauis
parte, quid opus est circulo moueri, aut
omnino magnitudinem habere? Quòd si
necesse est vt toto circulo tangens intel-
ligat, quis est tactus qui partibus *fit*?
16 Præterea quomodo intelliget partibi-
le impartibili? & impartibile partibili?
17 Iam verò necesse *est* intellectum esse
circulum hunc. intellectus enim motus
est intellectio: circuli verò, conuersio.
si igitur intellectio *est* conuersio; etiam C
intellectus erit circulus ille, cuius con-
uersio talis, *est* intellectio. 18 Ergo sem-
per aliquam rem intelliget. oportet enim,
siquidem conuersio *est* sempiterna. nam
effectiuarum aut actiuarum intellectio-
num sunt termini: quoniam omnes *sunt*
alterius gratia. contemplatiuæ autem si-
militer rationibus terminantur: omnis
verò ratio aut *est* definitio, aut demonstra-
tio. sed demonstrationes & à principio
proficiscuntur, & habent aliquo modo fi-
nem, *ideſt*, syllogismum seu conclusionem.
quòd si non terminantur, tamen non re- D
flectuntur rursus ad principium: sed assu-
mentes semper medium & extremum, re-
ctà progrediuntur: circulus verò ad prin-
cipium rursus reflectitur. omnes autem
definitiones *sunt* finitæ. 19 Præterea si ea-
dem conuersio sæpius *fit*, oportebit sæ-
pius intelligere eandem rem. 20 Insuper
intellectio similis est cuidam quieti & sta-
tui, potius quàm motui, eodémque mo-
do syllogismus. 21 Quin nec beatum
est, quod non est facile, sed violentum.
quòd si motus non est eius essentia, præ- E
ter naturam mouebitur. 22 Item labo-
riosum *est*, esse commixtum cum corpore,
nec posse ab *eo* solui: & insuper fugien-
dum. siquidem *est* melius intellectui esse
sine corpore, sicuti dici solet, & plerisque
concorditer videtur. 23 Incerta *est* etiam
causa cur cœlum circumferatur: quia nec
animæ essentia *est* causa cur circumferatur,
sed ex accidenti sic mouetur: nec cor-
pus *est* causa: sed illi potiùs anima.
24 At verò ne quidem dicitur quia melius.

atqui oportebat Deum ideo facere vt a- A nima circulo moueretur, quia melius ei *sit* moueri, quàm stare: & ita moueri, quàm aliter. Sed quia eiusmodi consideratio aliarum disputationum est magis propria, eam in præsentia dimittamus. 25 Iam verò illud absurdum accidit & huic sermoni, & plerisque eorum qui de anima *haberi solent*: quia compingunt & immittunt animam in corpus: cùm nihil præterea definiant, quam ob causam, & quomodo se habente corpore *id fiat*. atqui videatur hoc necessarium B esse: quoniam propter communionem aliud facit, aliud patitur, & aliud mouetur, aliud mouet: quorum nullum quibuslibet inter se inest. sed illi tantùm dicere aggrediuntur, quale quid *sit* anima. de corpore autem eam susceptu-ro, nihil præterea definiunt, quasi fieri possit secundùm Pythagoricas fabulas, vt quæuis anima ingrediatur in quoduis corpus. videtur enim vnumquodque habere propriam speciem & formam. similiter autem loquuntur, ac si quis diceret, artem fabrilem in tibias ingredi: oportet C enim artem quidem vti instrumentis, animam autem corpore.

CAPVT IV.

Animam non esse harmoniam.

ALia quoque opinio tradita est de animâ, probabilis quidem multis, ac nulla earum, quæ datæ sunt, deterior: quæ tamen, velut ij qui magistratu abierunt, rationes reddidit etiam in disputationibus in communi factis. nonnulli D enim asserunt, eam esse harmoniam quandam: etenim harmoniam esse temperationem & compositionem quandam contrariorum: corpus autem componi ex contrariis. 2 Atqui harmonia est ratio quædam mixtorum, vel compositio: anima verò neutrum horum esse potest. 3 Præterea mouere non est harmoniæ: omnes autem (penè dixerim) maximè hoc animæ attribuunt. 4 Magis autem quadrat de sanitate dicere harmoniam, & omnino de corporeis virtutibus, quàm de E anima. 5 Sed magis perspicuum fiet, si quis tentauerit harmoniâ quadam explicare affectiones & opera animæ: difficile est enim accommodare. Præterea si dicamus harmoniam, ad duo respicientes, præcipuè quidem in iis magnitudinibus quæ motum & positionem habent, earum compositionem, cùm ita sunt coaptatæ, vt nihil eiusdem generis admittant: hinc verò etiam mixtorum rationem: neutro sanè modo est rationi consentaneum.

καὶ τοί γ' ἐχρῆν τὸν Θεὸν ἕνεκα τούτου κύκλῳ ποιεῖν φέρεσθαι τὴν ψυχήν, ὅτι βέλτιον αὐτῇ τὸ κινεῖσθαι τοῦτ' ἢ μένειν· κινεῖσθαι δὲ οὕτως ἢ ἄλλως. ἐπεὶ δ' ἔστιν ἡ τοιαύτη σκέψις ἑτέρων λόγων οἰκειοτέρα, τούτων μὲν ἀφώμεθα τανῦν. 25 Ἐκεῖνο δὲ ἄτοπον συμβαίνει καὶ τούτῳ τῷ λόγῳ, καὶ τοῖς πλείοσιν τῶν περὶ ψυχῆς· συνάπτουσι γὰρ καὶ τίθεασιν εἰς τὸ σῶμα τὴν ψυχήν, σχεδὸν προσδιορισάμενοι πρότερον ἕνεκα τίνος, καὶ πῶς ἔχοντος τοῦ σώματος. καίτοι δόξειεν ἂν τοῦτο ἀναγκαῖον εἶναι· ἕνεκα μὲν γὰρ κοινωνίας, τὸ μὲν ποιεῖ, τὸ δὲ πάσχει· καὶ ὃ μὲν κινεῖται, τὸ δὲ κινεῖ· τούτων δὲ οὐδὲν ὑπάρχει πρὸς ἄλληλα τοῖς τυχοῦσιν. οἱ δὲ μόνον ἐπιχειροῦσι λέγειν, ποίαν τινὰ ἡ ψυχή· περὶ δὲ τοῦ δεξομένου σώματος, οὐδὲν ἔτι προσδιορίζουσιν, ὥσπερ ἐνδεχόμενον καθ' τοὺς Πυθαγορείους μύθους, τὴν τυχοῦσαν ψυχὴν εἰς τὸ τυχὸν ἐνδύεσθαι σῶμα· δοκεῖ γὰρ ἕκαστον ἴδιον ἔχειν εἶδος καὶ μορφήν. τοῦτο μὲν οὖν ἀπλούστερον ἢ λέγουσιν, ὥστε εἴ τις φαίη τὸν τεκτονικὸν εἰς αὐλοὺς ἐνδύεσθαι. δεῖ γὰρ τὴν μὲν τέχνην χρῆσθαι τοῖς ὀργάνοις, τὸν δὲ ψυχὴν, τῷ σώματι.

ΚΕΦΑΛ. δ'.

Ὅτι ἡ ψυχὴ οὐκ ἔστιν ἁρμονία.

ΚΑΙ ἄλλη δέ τις δόξα τοῦτον ἐδόθη περὶ ψυχῆς, πιθανὴ μὲν πολλοῖς, καὶ σχεδὸν μιᾶς ἥπτων τῶν λεγομένων· λόγοις δὲ ὥσπερ βιβλίνας δεδωκυῖα καὶ ἐν τοῖς ἐν κοινῷ γινομένοις λόγοις. ἁρμονίαν γάρ τινα αὐτὴν εἶναι λέγουσι· καὶ γὰρ τὴν ἁρμονίαν, κρᾶσίν τινα καὶ σύνθεσίν τινα ἐναντίων εἶναι· καὶ τὸ σῶμα συγκεῖσθαι ἐκ ἐναντίων. 2 Καὶ τί γε ἡ μὲν ἁρμονία λόγος τίς ἐστι τῶν μιχθέντων ἢ σύνθεσις, τὴν δὲ ψυχὴν οὐδέτερον τούτων εἶναι· οἷόν τε. 3 Εἰ δὲ τὸ κινεῖν οὐκ ἔστιν ἁρμονίας, ψυχῇ δὲ τοῦτο ἀπονέμουσι πρῶτοι μάλιστ' ὡς * εἰπεῖν. γρ. καὶ εἰπεῖν.

4 Ἁρμόζει δὲ μᾶλλον καθ' ὑγείας λέγειν ἁρμονίαν, καὶ ὅλως τῶν σωματικῶν ἀρετῶν, ἢ περὶ ψυχῆς. 5 Φανερώτερον δ' εἰ τις ἀποδιδόναι πειραθείη τὰ πάθη, καὶ τὰ ἔργα τῆς ψυχῆς ἁρμοῖά τινι· χαλεπὸν γὰρ ἐφαρμόζειν. 6 Εἰ δὴ εἰ λέγοιμεν τὴν ἁρμονίαν, εἰς δύο ἀποβλέποντες, κυριώτατα μὲν τῶν μεγεθῶν ἐν τοῖς ἔχουσι κίνησιν καὶ θέσιν, τούτῳ σύνθεσιν αὐτῶν· ἐπειδὴ οὕτω σύναρμόζοιτο, ὥστε μηδὲν συλλυθὲς προσδέχεσθαι· ἐναντίον δ' καὶ τὸν τῶν μεμιγμένων λόγον· οὐδετέρως μὲν οὖν ὁ λόγος

ἡ δὲ σύνθεσις τῶν τοῦ σώματος μερῶν λίαν εὐεξέταστος· πολλαί τε γὰρ σύνθεσεις τῶν μερῶν, καὶ πολλαχῶς. τίνος οὖν ἢ πῶς ὑπολαβεῖν χρὴ τὸν νοῦν σύνθεσιν εἶναι, ἢ καὶ τὸ αἰσθητικὸν, ἢ ὀρεκτικόν; ὁμοίως δὲ ἄτοπον, καὶ τὸν λόγον τῆς μίξεως εἶναι τὴν ψυχήν· οὐ γὰρ τὸν αὐτὸν ἔχει λόγον ἡ μῖξις τῶν στοιχείων, καθ' ἣν σάρξ, καὶ καθ' ἣν ὀστοῦν. συμβήσεται οὖν πολλάς τε ψυχὰς ἔχειν, καὶ κατὰ πᾶν τὸ σῶμα, εἴπερ πάντα μὲν ἐκ τῶν στοιχείων μεμιγμένων. ὁ δὲ τῆς μίξεως λόγος, ἁρμονία καὶ ψυχή. 7 Απαιτήσειε δ' ἄν τις τοῦτό γε καὶ παρ' Εμπεδοκλέους· ἕκαστον γὰρ αὐτῶν ἐν λόγῳ τινί φησιν εἶναι. πότερον οὖν λόγος ἐστὶν ἡ ψυχὴ, ἢ μᾶλλον ἕτερόν τι οὖσα ἐγγίνεται τοῖς μέλεσιν; ἔτι δὲ, πότερον ἡ φιλία τῆς τυχούσης αἰτία μίξεως, ἢ τῆς κατὰ τὸν λόγον· καὶ αὕτη πότερον ὁ λόγος ἐστὶν, ἢ παρὰ τὸν λόγον ἕτερόν τι; ταῦτα μὲν οὖν ἔχει τοιαύτας ἀπορίας. 8 Εἰ δ' ἐστὶν ἕτερον ἡ ψυχὴ τῆς μίξεως, τί δή ποτε ἅμα τῷ σαρκὶ εἶναι ἀναιρεῖται καὶ τῷ τοῖς ἄλλοις μορίοις τοῦ ζώου; Πρὸς δὲ τούτοις, εἴπερ μὴ ἕκαστον τῶν μορίων ψυχὴν ἔχει, εἰ μή ἐστιν ἡ ψυχὴ ὁ λόγος τῆς μίξεως, τί ἐστιν ὃ φθείρεται τῆς ψυχῆς ἀπολιπούσης; 9 Οτι μὲν οὖν οὔθ' ἁρμονίαν οἷόν τε εἶναι τὴν ψυχὴν, οὔτε κύκλῳ περιφέρεσθαι, δῆλον ἐκ τῶν εἰρημένων. κατὰ συμβεβηκὸς δὲ κινεῖσθαι, καθάπερ εἴπομεν, ἔστι καὶ κινεῖν ἑαυτήν· οἷόν κινεῖσθαι μὲν, ἐν ᾧ ἐστι, τοῦτο δὲ κινεῖσθαι ὑπὸ τῆς ψυχῆς· ἄλλως δὲ οὐκ οἷόν τε κινεῖσθαι κατὰ τόπον αὐτήν.

A Compositio autem partium corporis facilè admodum refellitur: quia multæ sunt compositiones partium, & multis modis. cuius igitur, aut quomodo compositionem esse, oportet existimare intellectum, aut etiam sensitiuum, aut appetitiuum? Similiter etiam *est* absurdum, animam esse rationem mixtionis: quia non habet eandem rationem mixtio elementorum, secundùm quam *est* caro, & secundùm quam *est* os. accidet igitur multas animas habere, & *quidem* per vniuersum corpus: siquidem omnes *partes* sunt ex elementis mixtis: ac mixtionis ratio *est* harmonia & anima. 7 Postulare autem aliquis hoc possit etiam ab Empedocle: quoniam vnamquamque earum in ratione quadam esse ait. vtrùm igitur anima est ratio, an potiùs, cùm sit aliud quiddam, membris accidit? præterea vtrùm amicitia est causa cuiuscumque mixtionis, an eius tantùm quæ in ratione consistit? & ipsa vtrùm est ratio quædam, an à ratione diuersum quidpiam? Hæc igitur habent eiusmodi dubitationes. 8 Quòd si anima est res diuersa à mixtione, cur tandem vnà cum essentia carnis & aliarum animalis partium tollitur? Ad hæc, nisi quæque pars habet animam, si anima non est mixtionis ratio illa, quid est quod interit animâ abscedente? 9 Animam igitur non posse harmoniam esse, aut in orbem ferri, patet ex iis quæ dicta sunt. Ex accidenti autem moueri potest, vt diximus, & mouere semetipsam: vtputà moueri quidem id in quo est, hoc autem moueri ab anima. aliter verò ea secundùm locum moueri nequit.

B

C

D

ΚΕΦΑΛ. ε'.

Οτι ἡ ψυχὴ οὐκ ἄλλην ἢ τὴν κατὰ τόπον κίνησιν κινεῖται.

Ευλογώτερον δὲ ἀπορήσειεν ἄν τις περὶ αὐτῆς, ὡς κινουμένης, εἰς τὰ τοιαῦτα ἀποβλέψας· φαμὲν γὰρ τὴν ψυχὴν λυπεῖσθαι, χαίρειν, θαρρεῖν, φοβεῖσθαι· ἔτι δὲ ὀργίζεσθαι καὶ αἰσθάνεσθαι, καὶ διανοεῖσθαι. ταῦτα δὲ πάντα, κινήσεις εἶναι δοκοῦσιν. ὅθεν οἰηθείη τις ἂν αὐτὴν κινεῖσθαι. 2 Τὸ δὲ οὐκ ἔστιν ἀναγκαῖον· εἰ γὰρ καὶ ὅτι μάλιστα τὸ λυπεῖσθαι, ἢ χαίρειν, ἢ διανοεῖσθαι, κινήσεις εἰσὶ, καὶ ἕκαστον κινεῖσθαι τούτων· τὸ δὲ κινεῖσθαί ἐστιν ὑπὸ τῆς ψυχῆς, οἷόν τὸ ὀργίζεσθαι, ἢ φοβεῖσθαι, τῷ τὴν καρδίαν ὧδι κινεῖσθαι· τὸ δὲ διανοεῖσθαι, ἢ τοιοῦτον, ἴσως δὲ ἕτερόν τι. 3 Τούτων δὲ συμβαίνει, τὰ μὲν κατὰ φορὰν, τινῶν κινουμένων, τὰ δὲ κατὰ ἀλλοίωσιν. ποῖα δὲ καὶ πῶς, ἕτερός ἐστι λόγος.

CAPVT V.

Animam aliis præter localem motibus non moueri.

PRobabilius autem de ea dubitare aliquis possit, quasi moueatur, ad eiusmodi argumenta respiciens: quia dicimus animam dolere, lætari confidere, metuere: præterea irasci, sentire, ratiocinari: quæ omnia videntur esse motus. vnde putare aliquis possit eam moueri. 2 Sed hoc non est necessarium. nam si vel maximè dolere, aut lætari, aut ratiocinari, sint motus, & horum vnumquodque sit moueri: tamen moueri est ab anima: vt puta irasci, vel timere, quia cor ita mouetur. ratiocinari autem aut *est* tale, aut fortasse aliud quiddam. 3 Horum autem alia fiunt quibusdam secundum locum motis; alia quibusdam variatis. Qualia verò hæc sint, & quomodo, alia disputatio *est*.

E

4 Dicere

4 Dicere autem animam irasci, perinde A *est*, ac si quis diceret animam texere, aut ædificare. melius enim fortasse *est*, non dicere animam misereri, vel discere, vel ratiocinari, sed hominem animâ: idque, non quasi in illa sit motus, sed aliquando vsque ad illam, quandoque ab illa: vt sensus *est* ab his: recordatio autem ab illa *est* ad eas motiones vel mansiones quæ *sunt* in sensuum instrumentis. 5 Intellectus autem videtur accedere, cùm sit substantia quędam, neque corrumpi. maximè enim corrumperetur ab hebetatione illa, quæ fit in senectute: nunc autem vt B in sensoriis accidit: etenim si senex nanciscereturoculum talem, videret sanè vt iuuenis. quapropter senectus non *est*, quia anima aliquid patiatur, sed quia *id patitur* in quo *est anima*, sicut euenit in ebrietatibus, & morbis. Itaque intelligere & contemplari langueſcit, alio quodam intus corrupto: ipsum autem est impatibile. ratiocinari verò, & amare, vel odisse, non sunt illius affectiones, sed huius, quod habet illud, quatenus illud habet. ideóque hoc corrupto, neque recordatur, neque amat: quia non erat illius, sed communis, quod periit. cæterùm C intellectus fortasse diuinius quiddam & impatibile est. 6 Non posse igitur animam moueri, perspicuum ex his *est*. quòd si omnino non mouetur: patet, eam nec à se ipsa *moueri*.

4 Τὸ δὲ λέγειν ὀργίζεσθαι τὴν ψυχήν, ὅμοιον κἂν εἴ τις λέγοι τὴν ψυχὴν ὑφαίνειν, ἢ οἰκοδομεῖν· βέλτιον γὰρ ἴσως μὴ λέγειν τὴν ψυχὴν ἐλεεῖν, ἢ μανθάνειν, ἢ αἰσθάνεσθαι, ἀλλὰ τὸν ἄνθρωπον τῇ ψυχῇ. τὸ δὲ μὴ ὡς ἐν ἐκείνῃ τῆς κινήσεως οὔσης· ἀλλ' ὁτὲ μὲν μέχρις ἐκείνης, ὁτὲ δὲ ἀπ' ἐκείνης· οἷον, ἡ μὲν αἴσθησις ἀπὸ μέν τινων ἐστί, ἡ δ' ἀνάμνησις ἀπ' ἐκείνης, ὅτι αἱ ἐν τοῖς αἰσθητηρίοις κινήσεις ἡ μναί. ὁ δὲ νοῦς ἔοικεν ἐγγίνεσθαι, οὐσία τις οὖσα, καὶ οὐ φθείρεσθαι. μάλιστα γὰρ ἐφθείρετ' ἂν ὑπὸ τῆς ἐν τῷ γήρᾳ ἀμαυρώσεως. νυνὶ δ' ὥσπερ ὅτι τῶν αἰσθητηρίων συμβαίνῃ· εἰ γὰρ λάβοι ὁ γέρων τοιοῦτ' ὄμμα τοιονδί, βλέποι ἄν, ὥσπερ καὶ ὁ νέος. ὥστε τὸ γῆρας, οὐ τῷ τὴν ψυχὴν πεπονθέναι τί, ἀλλ' ἐν ᾧ, καθάπερ ἐν μέθαις καὶ νόσοις. καὶ τὸ νοεῖν δὴ καὶ τὸ θεωρεῖν μαραίνεται, ἄλλου τινὸς ἔσω φθειρομένου· αὐτὸ δὲ ἀπαθές ἐστι. τὸ δὲ μανθάνειν, καὶ φιλεῖν, ἢ μισεῖν, οὐκ ἔστιν ἐκείνου πάθη, ἀλλὰ τοῦδὶ τοῦ ἔχοντος ἐκεῖνο, ᾗ ἐκεῖνο ἔχει. διὸ δὲ τούτου φθαρέντος, οὔτε μνημονεύει, οὔτε φιλεῖ· οὐ γὰρ ἐκείνου ἦν, ἀλλὰ τοῦ κοινοῦ, ὃ ἀπόλωλεν· ὁ δὲ νοῦς ἴσως θειότερόν τι καὶ ἀπαθές ἐστιν. 6 ὅλη μὲν οὖν οὐκ οἷόν τε κινεῖσθαι τὴν ψυχήν, φανερὸν ἐκ τούτων. εἰ δ' ὅλως μὴ κινεῖται, δῆλον ὡς οὐδ' ὑφ' ἑαυτῆς.

CAPVT VI.

Animam non esse numerum seipsum mouentem.

SEd multo magis quàm ea quæ dicta D sunt, à ratione distat, dicere animam esse numerum mouentem semetipsum. his enim adsunt impossibilia, primùm quæ ex ipso moueri eueniunt, deinde peculiaria ex eo quòd dicunt eam *esse* numerum. 2 Nam quomodo intelligere oportet vnitatem moueri? & à quo? & quomodo? cùm sit impartibilis & indifferens? Etenim si est motiua & mobilis, eam differre oportet. 3 Præterea quoniam dicunt motam lineam efficere pla- E num, & motum punctum *efficere* lineam: *profectò* etiam vnitatum motus erunt lineæ: quia punctum est vnitas positionem habens: animæ autem numerus iam alicubi est, & positionem habet. 4 Præterea si quis à numero detrahat numerum vel vnitatem, relinquitur alius numerus: plantæ verò & animaliũ pleraque secta viuunt, & videntur eandem specie animam habere. 5 Videri autem possit nihil referre, *siue* vnitates dicãtur, siue parua corpuscula.

ΚΕΦΑΛ. ς'.

Οὐ ἡ ψυχὴ οὐκ ἔστιν ἀριθμὸς ἑαυτὸν κινῶν.

ΠΟΛΥ δὲ τῶν εἰρημένων ἀλογώτατον, τὸ λέγειν ἀριθμὸν εἶναι τὴν ψυχὴν κινοῦντ' ἑαυτόν· ὑπάρχει γὰρ ἀδύνατα, πρῶτα μὲν τὰ ἐκ τοῦ κινεῖσθαι συμβαίνοντα· ἰδίᾳ δὲ ἐκ τοῦ λέγειν αὐτὴν ἀριθμόν. 2 Πῶς γὰρ χρὴ νοῆσαι μονάδα κινουμένην, καὶ τίνος, καὶ πῶς, ἀμερῆ καὶ ἀδιάφορον οὖσαν; εἰ γάρ ἐστι κινητική, καὶ κινητὴ, διαφέρειν δεῖ. 3 Εἰ δ' ἐπεί φασι κινηθεῖσαν γραμμὴν ἐπίπεδον ποιεῖν, στιγμὴν δὲ γραμμήν· καὶ αἱ τῶν μονάδων κινήσεις, γραμμαὶ ἔσονται· ἡ γὰρ στιγμὴ, μονάς ἐστι θέσιν ἔχουσα. ὁ δ' ἀριθμὸς τῆς ψυχῆς, ἤδη που ἐστί, καὶ θέσιν ἔχει. 4 Εἰ δ' ἀριθμοῦ μὲν ἐνὸς ἀφέλῃ τις ἀριθμὸν ἢ μονάδα, λείπεται ἄλλος ἀριθμός. τὰ δὲ φυτὰ, καὶ τῶν ζώων πολλὰ διχοτόμητα, ζῇ, καὶ δοκεῖ τὴν αὐτὴν ψυχὴν ἔχειν τῷ εἴδει. 5 δόξειε δ' οὐδὲν διαφέρειν, μονάδας λέγειν, ἢ σωμάτια σμικρά.

καὶ γὰρ ἐκ τῶν Δημοκρίτου σφαιρείων, ἐὰν γένωνται στιγμαὶ, μόνον δὲ μένῃ τὸ ποσὸν, ἔσταί τι ἐν αὐτῷ τὸ μὲν κινοῦν, τὸ δὲ κινούμενον, ὥσπερ ἐν τῷ μεγέθει. οὐ γὰρ διὰ τὸ μεγέθει διαφέρειν ἢ σμικρότητι, τοῦτο συμβαίνει λεγόμενον, ἀλλ' ὅτι ποσόν. διὸ ἀναγκαῖον εἶναί τι τὸ κινοῦν τὰς μονάδας. εἰ δ' ἐν τῷ ζώῳ τὸ κινοῦν ἡ ψυχὴ, καὶ ἐν τῷ ἀριθμῷ· ὥστε οὐ τὸ κινοῦν καὶ τὸ κινούμενον ἡ ψυχὴ, ἀλλὰ τὸ κινοῦν μόνον. * ὁ ἐνδέχεται δέ πως μονάδα ταύτην εἶναι· δεῖ γὰρ ὑπάρχειν αὐτῆς διαφορὰν πρὸς τὰς ἄλλας· στιγμῆς δὲ μοναδικῆς τίς ἂν εἴη διαφορὰ, πλὴν θέσις; εἰ μὲν οὖν εἰσιν ἕτεραι αἱ ἐν τῷ σώματι μονάδες, ἢ στιγμαὶ, ἐν τῷ αὐτῷ ἔσονται αἱ μονάδες· καθέξει γὰρ χώραν στιγμῆς. καί τι τί * κωλύει ἐν τῷ αὐτῷ εἶναι, εἰ δύο ἄπειροι; ὧν γὰρ ὁ τόπος ἀδιαίρετος, καὶ αὐτά. εἰ δ' αἱ ἐν τῷ σώματι στιγμαί εἰσιν ὁ ἀριθμὸς ὁ τῆς ψυχῆς, ἢ εἰ ὁ ἐκ τῶν ἐν τῷ σώματι στιγμῶν ἀριθμὸς ἡ ψυχὴ, διὰ τί οὐ πάντα ψυχὴν ἔχοντι τὰ σώματα; στιγμαὶ γὰρ ἐν ἅπασι δοκοῦσιν εἶναι καὶ ἄπειροι. ἔπ ὄ, πῶς οἷόν τε χωρίζεσθαι τὰς ψυχὰς καὶ ἀπολύεσθαι τῶν σωμάτων, εἰ γε μὴ διαιροῦνται αἱ γραμμαὶ εἰς τὰς στιγμάς; 7 συμβαίνει δὲ καθάπερ εἴπομεν, τῇ μὲν ταὐτὸ λέγειν τοῖς σῶμά τι λεπτομερὲς αὐτὸ ὑπεῖσι· τῇ δ', ὥσπερ Δημόκριτος κινεῖσθαί φησιν αὐτὸ τῆς ψυχῆς, ἴδιόν τι ἄτοπον· εἴπερ γάρ ἐστιν ἡ ψυχὴ ἐν παντὶ τῷ αἰσθανομένῳ σώματι, ἀναγκαῖον ἐν τῷ αὐτῷ δύο εἶναι σώματα, εἰ σῶμά τι ἡ ψυχή· τοῖς δ' ἀριθμὸν λέγουσιν, ἐν τῇ μιᾷ στιγμῇ πολλὰς στιγμάς· ἢ πῶς σῶμα ψυχὴν ἔχῃ, εἰ μὴ διαφέρων τις ἀριθμὸς ἐγγίνεται, καὶ ἄλλος τις τῶν ὑπαρχουσῶν ἐν τῷ σώματι στιγμῶν. συμβαίνει τε κινεῖσθαι τὸ ζῷον ὑπὸ τοῦ ἀριθμοῦ, καθάπερ καὶ Δημόκριτον ἔφαμεν αὐτὸ κινεῖν· τί γὰρ διαφέρει σφαίρας λέγειν μικρὰς, ἢ μονάδας μεγάλας, ἢ ὅλως μονάδας φερομένας; ἀμφοτέρως γὰρ ἀναγκαῖον κινεῖν τὸ ζῷον, τῷ κινεῖσθαι αὐτάς. 8 τοῖς δὴ συμπλέξασιν εἰς τὸ αὐτὸ κίνησιν καὶ ἀριθμὸν, ταῦτά τε συμβαίνει, καὶ πολλὰ ἕτερα φαῦλα· οὐ γὰρ μόνον ὁρισμὸν ψυχῆς ἀδύνατον ποιοῦσιν εἶναι, ἀλλὰ καὶ συμβεβηκός. δῆλον δ' εἴ τις ἐπιχειρήσειεν ἐκ τοῦ λόγου τούτου τὰ πάθη καὶ τὰ ἔργα τῆς ψυχῆς ἀποδιδόναι· οἷον λογισμούς, αἰσθήσεις, ἡδονὰς, λύπας, καὶ ὅσα ἄλλα τοιαῦτα· ὥσπερ γὰρ εἴπομεν πρότερον, οὐδὲ μαντεύεσθαι ῥᾴδιον ἐξ αὐτῶν.

